The purpose of this apparatus is to show all variation within **Family 35**, as identified by a complete collation of the following thirty-eight representative MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 959, 986, 1072, 1075, 1100, 1248, 1249, 1250, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2466, 2554, 2587 and 2723. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. 18, 35, 204, 394, 928, 1072, 1075, 1249, 1503, 1637, 1768, 1864, 1865, 2554 and 2723 have no variants.

# ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β[1]

## [Opening Considerations]

*[Greeting]*

**1**.1 Παυλος και Σιλουανος και Τιμοθεος τη εκκλησια Θεσσαλονικεων[2] εν Θεω[3] Πατρι ἡμων
και Κυριω Ιησου Χριστω: 2 Χαρις ὑμιν και ειρηνη απο Θεου[4] Πατρος ἡμων και Κυριου
Ιησου Χριστου.

*[Commendation and encouragement]*

3 Ευχαριστειν οφειλομεν τω Θεω παντοτε περι ὑμων, αδελφοι, καθως αξιον εστιν, ὁτι
ὑπεραυξανει ἡ πιστις ὑμων, και πλεοναζει ἡ αγαπη ἑνος ἑκαστου παντων[5] ὑμων εις αλληλους·
4 ὡστε ἡμας αυτους εν ὑμιν καυχασθαι εν ταις εκκλησιαις του Θεου, ὑπερ της ὑπομονης ὑμων
και πιστεως εν πασιν τοις διωγμοις ὑμων, και ταις θλιψεσιν αἱς ανεχεσθε 5—ενδειγμα της
δικαιας κρισεως του Θεου, εις το καταξιωθηναι ὑμας[6] της βασιλειας του Θεου, ὑπερ ἧς και
πασχετε· 6 ειπερ δικαιον παρα Θεω ανταποδουναι τοις θλιβουσιν ὑμας θλιψιν, 7 και ὑμιν
τοις θλιβομενοις, ανεσιν (μεθ᾽ ἡμων) εν τη αποκαλυψει του Κυριου Ιησου απ᾽ ουρανου μετ᾽
αγγελων δυναμεως αυτου εν πυρι φλογος, 8 διδοντος εκδικησιν τοις μη ειδοσιν[7] Θεον και
τοις μη ὑπακουουσιν τω ευαγγελιω του Κυριου ἡμων Ιησου Χριστου, 9 οἱτινες δικην
τισουσιν: ολεθρον αιωνιον, απο προσωπου του Κυριου και απο της δοξης[8] της ισχυος αυτου,
10 ὁταν ελθη ενδοξασθηναι εν τοις ἁγιοις αυτου, και θαυμασθηναι[9] εν πασιν τοις
πιστευσασιν (ὁτι επιστευθη το μαρτυριον ἡμων εφ᾽ ὑμας)· εν τη ἡμερα εκεινη.

*[A model prayer]*

11 Εις ὃ και προσευχομεθα παντοτε[10] περι ὑμων, ἱνα ὑμας αξιωση της κλησεως ὁ Θεος
ἡμων και πληρωση πασαν ευδοκιαν αγαθωσυνης[11] και εργον[12] πιστεως εν δυναμει, 12 ὁπως
ενδοξασθη το ονομα του Κυριου ἡμων Ιησου Χριστου εν ὑμιν, και ὑμεις εν αυτω, κατα την
χαριν του Θεου ἡμων και Κυριου, Ιησου Χριστου.

## [The Day of Christ]

**2**.1 Ερωτωμεν δε ὑμας, αδελφοι, ὑπερ της παρουσιας του Κυριου ἡμων Ιησου Χριστου και
ἡμων επισυναγωγης επ᾽ αυτον, 2 εις το μη ταχεως σαλευθηναι ὑμας απο του νοος μητε
θροεισθαι, μητε δια πνευματος μητε δια λογου μητε δι᾽ επιστολης ὡς δι᾽ ἡμων, ὡς ὁτι
ενεστηκεν ἡ ἡμερα του Χριστου.

*[The man of sin]*

3 Μη τις ὑμας εξαπατηση κατα μηδενα τροπον· ὁτι εαν μη ελθη ἡ αποστασια πρωτον
και αποκαλυφθη ὁ ανθρωπος της ἁμαρτιας, ὁ υἱος της απωλειας, 4 ὁ αντικειμενος και

---

[1] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.
[2] θεσσαλονικεων || θεσσαλονικαιων 1548
[3] θεω || 1 και 1248
[4] απο θεου || 1212 1248 (repeats)
[5] παντων || --- 986
[6] υμας || ημας 959
[7] ειδοσιν || 1 τον [30%] 2080
[8] της δοξης || προσωπου 1892
[9] θαυμασθηναι || ονομασθηναι 1892
[10] παντοτε || --- 1897
[11] αγαθωσυνης || αγαθοσυνης [30%] 1250,1876
[12] εργον || εργων 1855

ὑπεραιρομενος επι παντα λεγομενον θεον ἡ σεβασμα, ὡστε αυτον εις τον ναον του Θεου ὡς
Θεον καθισαι, αποδεικνυντα ἑαυτον ὁτι εστιν Θεος. 5 (Ου μνημονευετε ὁτι ετι ων προς ὑμας
ταυτα ελεγον[1] ὑμιν?)

*[The Restrainer]*

6 Και νυν το κατεχον οιδατε, εις το αποκαλυφθηναι αυτον εν τω ἑαυτου[2] καιρω. 7 Το
γαρ μυστηριον ηδη ενεργειται της ανομιας· μονον ὁ κατεχων αρτι ἑως εκ μεσου γενηται.
8 Και τοτε αποκαλυφθησεται ὁ ανομος, ὃν ὁ Κυριος[3] αναλωσει τω πνευματι του στοματος
αυτου και καταργησει τη επιφανεια της παρουσιας αυτου· 9 οὗ εστιν ἡ παρουσια κατ'
ενεργειαν του Σατανα εν παση[4] δυναμει και σημειοις και τερασιν ψευδους, 10 και εν[5] παση[6]
απατη[7] της αδικιας εν τοις απολλυμενοις, ανθ' ὧν την αγαπην της αληθειας ουκ εδεξαντο εις
το σωθηναι αυτους.

*[Believing 'the lie']*

11 Και, δια τουτο πεμψει αυτοις[8] ὁ Θεος ενεργειαν πλανης εις το πιστευσαι αυτους
τω ψευδει, 12 ἱνα κριθωσιν παντες οἱ μη πιστευσαντες τη αληθεια αλλ' ευδοκησαντες εν[9] τη
αδικια.

## [To be Saved is Different]

**2**.13 Ἡμεις δε οφειλομεν ευχαριστειν τω Θεω παντοτε περι ὑμων, αδελφοι ηγαπημενοι ὑπο
Κυριου, ὁτι εἱλετο ὑμας ὁ Θεος απ' αρχης εις σωτηριαν, εν ἁγιασμω πνευματος και πιστει
αληθειας, 14 εις ὃ εκαλεσεν ὑμας δια του ευαγγελιου ἡμων,[10] εις περιποιησιν δοξης του
Κυριου ἡμων Ιησου Χριστου.
15 Αρα ουν, αδελφοι, στηκετε και[11] κρατειτε τας παραδοσεις ἃς εδιδαχθητε, ειτε δια
λογου ειτε δι' επιστολης ἡμων.

*[Another model prayer]*

16 Αυτος δε ὁ Κυριος ἡμων Ιησους Χριστος, και ὁ Θεος και Πατηρ ἡμων, ὁ αγαπησας
ἡμας και δους παρακλησιν αιωνιαν και ελπιδα αγαθην, εν χαριτι,[12] 17 παρακαλεσαι ὑμων τας
καρδιας και στηριξαι ὑμας εν παντι λογω και εργω αγαθω.

*[A request for prayer]*

**3**.1 Το λοιπον προσευχεσθε, αδελφοι, περι ἡμων, ἱνα ὁ λογος του Κυριου τρεχη και
δοξαζηται, καθως και προς ὑμας, 2 και ἱνα ῥυσθωμεν απο των ατοπων και πονηρων
ανθρωπων· ου γαρ παντων ἡ πιστις.
3 Πιστος δε εστιν ὁ Κυριος, ὃς στηριξει ὑμας και φυλαξει απο του πονηρου.
4 Πεποιθαμεν δε εν Κυριω εφ' ὑμας, ὁτι ἃ παραγγελλομεν ὑμιν και ποιειτε και ποιησετε.[13]
5 Ὁ δε Κυριος κατευθυναι ὑμων τας καρδιας εις την αγαπην του Θεου και εις την ὑπομονην
του Χριστου.

## [Instructions]

*[Don't be irresponsible or lazy]*

---

[1] ελεγον || ελεγομεν 959
[2] εαυτου || αυτου [20%] 757,959
[3] κυριος || 1 ιησους (13.4%) 1100,1768
[4] παση || πασει 1761
[5] εν || --- 959
[6] παση || πασης 1897 (apparently)
[7] απατη || απατει 328
[8] αυτοις || αυτους 444
[9] εν || --- [10%] 201
[10] ημων || υμων 444
[11] και || --- 1250,1876
[12] και ελπιδα αγαθην εν χαριτι || --- 1250
[13] και ποιησετε || 1 ποιησεται 959 || --- 1248 (homoioteleuton)

**3**.6 Παραγγελλομεν δε ὑμιν, αδελφοι, εν ονοματι του Κυριου ἡμων Ιησου Χριστου,
στελλεσθαι ὑμας[1] απο παντος αδελφου ατακτως περιπατουντος και μη κατα την[2] παραδοσιν ἣν
παρελαβον παρ’ ἡμων. 7 Αυτοι γαρ οιδατε πως δει μιμεισθαι ἡμας,[3] ὁτι ουκ ητακτησαμεν[4] εν
ὑμιν· 8 ουδε δωρεαν αρτον εφαγομεν[5] παρα τινος· αλλ’ εν κοπω και μοχθω, νυκτα και
ἡμεραν, εργαζομενοι προς το μη επιβαρησαι τινα ὑμων· 9 ουχ ὁτι ουκ εχομεν εξουσιαν, αλλ’
ἱνα ἑαυτους τυπον δωμεν ὑμιν εις το μιμεισθαι ἡμας. 10 Και γαρ, ὁτε ημεν προς ὑμας τουτο
παρηγγελλομεν ὑμιν: ὁτι ει τις ου θελει εργαζεσθαι μηδε εσθιετω! 11 Ακουομεν[6] γαρ τινας
περιπατουντας[7] εν ὑμιν ατακτως· μηδεν εργαζομενους, αλλα περιεργαζομενους.[8] 12 Τοις δε
τοιουτοις παραγγελλομεν και παρακαλουμεν δια του Κυριου ἡμων Ιησου Χριστου[9] ἱνα μετα
ἡσυχιας εργαζομενοι τον ἑαυτων[10] αρτον εσθιωσιν.

*[Isolate the disobedient]*

13 Ὑμεις δε, αδελφοι, μη εκκακησητε[11] καλοποιουντες.[12] 14 Ει δε τις ουχ ὑπακουει τω
λογω ἡμων δια της επιστολης, τουτον σημειουσθε και μη συναναμιγνυσθε[13] αυτω, ἱνα
εντραπη· 15 και μη ὡς εχθρον ἡγεισθε, αλλα νουθετειτε ὡς αδελφον.

## [Conclusion]

*[Benediction]*

**3**.16 Αυτος δε ὁ Κυριος της ειρηνης δωη ὑμιν την ειρηνην δια παντος εν παντι τροπω.[14] Ὁ
Κυριος μετα παντων ὑμων.

*[Sign-off]*

17 Ὁ ασπασμος τη εμη χειρι, Παυλου, ὅ εστιν σημειον εν παση επιστολη, οὑτως
γραφω. 18 Ἡ χαρις του Κυριου ἡμων Ιησου Χριστου μετα παντων ὑμων. Αμην.[15,16]

---

[1] υμας || --- 959
[2] την || --- 1897
[3] ημας || υμας 604
[4] ητακτησαμεν || ηκτακτησαμεν 1250
[5] αρτον εφαγομεν || ~ 21 386
[6] ακουομεν || ακουωμεν 1248
[7] τινας περιπατουντας || ~ 21 2466
[8] αλλα περιεργαζομενους 757c || --- 757,1897 (obvious homoioteleuton)
[9] χριστου || --- 1761
[10] εαυτων || εαυτον 1725,1732
[11] εκκακησητε || εκκακησετε 1892 || εκακησετε 824
[12] καλοποιουντες || το καλον ποιουντες [2%] 201
[13] συναναμιγνυσθε || συναμιγνυσθε 959
[14] δια παντος εν παντι τροπω || ~ 34512 2587
[15] αμην || --- [2%] 328
[16] The Greek font used is Bwgrkl and may be downloaded free from http://www.bibleworks.com.